ἄλυτον αὐτοῖς ἐπιτιθέντες, ὥστε πάντα ταῦτα τά τε παρὰ τῶν πρὸ ἡμῶν ἁγιωτάτων πατριαρχῶν, ἔτι δὲ καὶ τὰ παρ' ἡμῶν ᾠκονομημένα ἀναλλοίωτα καὶ ἀπαρεγχείρητα συντηρῆσαι καὶ μηδὲ τὸ βραχύτατον αὐτῶν ἀκυρῶσαι βουληθῆναι, εἴ γε βούλοιντο καὶ τὰ παρ' αὐτῶν διοριζόμενα καὶ οἰκονομούμενα τὸ κῦρος ἔχειν καὶ ἀμετάκρεπτα διαμένειν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον σιγιλλιῶδες γράμμα συνήθως πιστωθὲν ἐπεδόθη τῷ μέρει τῆς δηλωθείσης σεβασμίας μονῆς τοῦ ἁγίου ἐνδόξου, πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τῆς νήσου Πάτμου κατέχειν αὐτὸ εἰς διηνεκῆ τὴν ἀσφάλειαν καὶ βεβαίωσιν. †

† Ἐν ἔτει ,αφϞζ', ἰανουαρίῳ ιθ', ἰνδικτιῶνος ι'. †

† Μελέτιος, ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς οἰκουμένης, ὁ ἐπιτηρητὴς τοῦ πατριαρχικοῦ θρόνου Κωνσταντινουπόλεως. †

*Archet. chart. Flor. II. nro 38. Exemplaria duo nro 39 et 40. edid. I. Sakkelion in periodico* Εὐαγγελικὸς κῆρυξ *vol. IX (1865), p. 133—139.*

## CXXVI. 7105—1597, die 3 mensis februarii, ind. X.

*Meletius, patriarcha Alexandriae, procurator ecclesiae Constantinopolitanae, hortatur monachos, ut abstineant a factionibus vivantque secundum regulas monasticas.*

† Μελέτιος, ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ ἐπιτηρητὴς τοῦ οἰκουμενικοῦ θρόνου. †

† Ὁσιώτατε καθηγούμενε τῆς σεβασμίας βασιλικῆς τε καὶ πατριαρχικῆς μονῆς τῆς ἐν τῇ νήσῳ Πάτμῳ κειμένης καὶ ἐπ' ὀνόματι τιμωμένης τοῦ ἁγίου, ἐνδόξου, πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ, ἐπιστηθίου φίλου, παρθένου, ἠγαπημένου Ἰωάννου τοῦ Θεολόγου, καὶ οἱ ἐν αὐτῇ ὁσιώτατοι ἱερομόναχοι καὶ μοναχοί, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ θεοῦ παντοκράτορος. ἔφθασεν εἰς τὰς ἀκοὰς τῆς ἡμῶν μετριότητος, ὅτι τινὲς τῶν ἐνασκουμένων ἐν αὐτῇ ἱερομονάχων καὶ μοναχῶν πράγματα τολμῶσι παράλογα καὶ ταῦτα ἐν τοιαύτῃ μονῇ, ὅπερ οὐ μόνον παρὰ τῶν κανόνων τῶν ἁγίων πατέρων, ἀλλὰ καὶ παρὰ τῶν ἔξω νόμων κεκώλυται· καὶ γὰρ πράττουσιν ἀδεῶς καὶ ἀτάκτως συνωμοσίας ὁμοῦ καὶ φατρίας πρὸς οὐδὲν ἕτερον ἀποβλέποντες εἰ μὴ ὥστε πληρῶσαι τὰ κακὰ θελήματα αὐτῶν, ἃ πρό-

τερον τὸν μοναδικὸν καὶ ἡσύχιον ὑπερχόμενοι βίον καὶ τὰς συνθήκας πρὸς τὸν θεὸν θέμενοι ἀπετάξαντο σὺν τῷ κόσμῳ, καὶ ἀπὸ τούτου σκάνδαλα πολλὰ προξενοῦνται καὶ φιλονεικίαι καὶ ἔριδες, ἐξ ὧν βλάβη μὲν οὐχ ἡ τυχοῦσα τῇ θείᾳ ταύτῃ μονῇ, μισαλληλίαι δὲ καὶ μνησικακίαι ἀναφύονται, ἃ δὴ πάντα ξένα εἰσὶ καὶ ἀλλότρια τῆς μοναδικῆς πολιτείας. ἡ τοίνυν μετριότης ἡμῶν οὐκ ἀνεκτὰ ταῦτα ἡγησαμένη γράφει πρὸς ὑμᾶς καὶ ἐν ἁγίῳ ἀποφαίνεται πνεύματι· ὀφείλουσιν οἱ τὰ τοιαῦτα τετολμηκότες ἱερομόναχοι ὄντες ἢ μοναχοὶ διὰ μεταμελείας καὶ τῆς ὀφειλομένης ἐξαγορεύσεως τούτων μὲν ἀποστῆναι τελείως, τοῦ λοιποῦ δὲ μὴ τολμᾶν ὅλως συνωμοσίας ἢ φατρίας ποιεῖν· ὅστις γὰρ τούτων ἢ καὶ τῶν μετὰ ταῦτα τὸ τοιοῦτον τολμήσειεν ἔγκλημα, ὁποίου ἂν εἴη καταλόγου, ἀφωρισμένος ἔστω ἀπὸ θεοῦ παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ ἐχέτω τὰς ἀρὰς τοῦ τε μεγάλου Θεολόγου καὶ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων. οὕτως ἐν ἁγίῳ ἀποφαινόμεθα πνεύματι, ἡ δὲ τοῦ θεοῦ χάρις καὶ τὸ ἔλεος καὶ ἡ εὐχὴ καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ πάντων ὑμῶν· ͵αφϞζ΄, φεβρουαρίῳ, γ΄ [δεκάτης] ἰνδικτιῶνος. †

† Μελέτιος, ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας. †

*Archet. chart. Flor. II. nro 41.*

## CXXVII. 7106—1598, die 20. mensis iulii, (ind. XI.)

*Meletius Pegas, patriarcha Alexandriae, hortatur monachos ad religiosam vitam conceditque abbati monasterii ius consecrandi ecclesias et altaria.*

† Μελέτιος, ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς οἰκουμένης. †

† Τὸ τοῦ σωτῆρος ἡμῶν ποίμνιον κατὰ τὸ εὐαγγελικὸν πρόσταγμα ποιμαίνειν ταχθέντες ὑπὸ τῆς φιλανθρώπου προνοίας αὐτοῦ καὶ διὰ τοῦτο τῆς καθολικῆς ἐκκλησίας τὰ πανταχοῦ γῆς εὑρισκόμενα μέλη διὰ φροντίδος ἔχοντες ὑπερκαοῦς, ταῖς ἀνάγκαις τε καὶ χρείαις τούτων ὁλοψύχως ὑπηρετοῦντες, ὡς ἐλλείπειν ἐν οὐδενὶ τῶν εἰς σωτηρίαν συντεινόντων κατά γε τὴν δωρηθεῖσαν ἡμῖν χάριν τε καὶ δύναμιν καὶ ἐξουσίαν, ἀφικόμεθα μετὰ τὰς ἐν τῇ βασιλευούσῃ διατριβὰς καὶ εἰς Πάτμον, τὴν θεοῦ χάριτι ὀρθοδοξοῦσαν νῆσον, τό τε ἱερὸν κειμήλιον τῆς οὐρανίου ἀποκαλύψεως καὶ τὸ σεβάσμιον μοναστήριον τοῦ ἁγίου,

ἐνδόξου καὶ πανευφήμου ἀποστόλου, φίλου ἐπιστηθίου Ἰωάννου τοῦ Θεολόγου, καὶ τὴν ἱερὰν λάρνακα καὶ [τὰ] σεπτὰ λείψανα τοῦ ἐν ἁγίοις Χριστοδούλου τοῦ θαυματουργοῦ ἱστορήσαντές τε καὶ ἀσπασάμενοι μετὰ προσηκούσης τῆς εὐλαβείας, εὐχάς τε ἀποδόντες τὰς ὀφειλομένας τῷ σωτῆρι θεῷ τοὺς ἐνασκουμένους τῶν ἀδελφῶν σὺν τοῖς περιοίκοις τῶν ὀρθοδόξων παρεμυθησάμεθα τοῖς τοῦ Παρακλήτου λόγοις ἱεροῖς, ἐμμένειν δηλαδὴ παραινέσαντες τῇ σωτηρίῳ τοῦ εὐαγγελίου διδασκαλίᾳ, ταῖς εὐπραξίαις ἐξιλεουμένους τὸν πανοικτίρμονα κύριον, ὑποφέροντας τὰς ἐκ τῶν ἐπαγωγῶν θλίψεις, οἰκειότερον δὲ τοὺς ὁσίους ἀδελφοὺς τῆς σεβασμίας μονῆς παρεκαλέσαμεν ἔχεσθαι τῶν ἰχνῶν τῶν εἰς σωτηρίαν προηγησαμένων καὶ κατὰ τὴν τῶν πατέρων τῶν ἁγίων παραδοθεῖσαν ὑποτύπωσιν πολιτεύεσθαι. ἔδει δὲ τηλικαύτην μονὴν οὕτω φιλοτίμως βασιλεῦσι καὶ τοῖς πρὸ ἡμῶν ἀρχιερατεύσασι κεκοσμημένην προνομίοις τε καὶ χαρίσμασι μὴ ἄμοιρον ἡμᾶς καταλιπεῖν, ἀλλά τε χάρισμα μεταδοῦναι ταύτῃ πνευματικόν, ὁμοῦ τε μνημόσυνον τῆς ἡμετέρας πρὸς οὕτω σεβασμίους τόπους εὐνοίας ἐσόμενον, ὁμοῦ τε χρήσιμον τῇ ἐκκλησίᾳ τοῦ σωτῆρος Χριστοῦ. ἐπειδὴ τοίνυν ζήλῳ κινούμενοι θείῳ σηκοὺς ἁγίους ἐγείρειν εἰώθασιν οἱ ἐν τῇδε τῇ θεοφυλάκτῳ νήσῳ παροικοῦντες, δόξαν ἐσομένην τοῦ ἀληθινοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν καὶ τῶν ἁγίων πάντων, μνημόσυνόν τε τῶν κτητόρων καὶ τῶν εὐσεβῶν αὐτῶν γονέων τε καὶ ἐκγόνων, δεῖται δὲ τοῖς ἱεροῖς οἰκοδομήμασι καὶ ἐνθρονίσεως ἱερᾶς, ἥνπερ ἀρχιερεῦσιν ἐφιᾶσιν οἱ θεσμοὶ τῆς ἐκκλησίας καὶ οἷς ἂν προτρέψειαν οἱ ἀρχιερεῖς, δι' ἣν αἰτίαν καὶ πρεσβεύσαντες ἔσθ' ὅτε οἱ τοῦ μοναστηρίου ἀδελφοὶ κατὰ καιρὸν ἐλάμβανον παρὰ τοῦ οἰκουμενικοῦ θρόνου ἔκδοσίν τε καὶ προτροπὴν ταύτης τῆς ἱερᾶς χάριτος, ἡ δὲ χάρις οὐχ ὑφαπλοῦτο, ἀλλ' ἅπαξ χορηγηθεῖσα συνεστέλλετο καὶ πάλιν ἦν ἀνάγκης παρενοχλεῖσθαι τὰς ἀρχιερατικὰς ἀκοὰς καὶ σκύλλεσθαι τοὺς πρεσβεύοντας διὰ θαλαττίων κλυδώνων τε καὶ λῃστῶν τὴν προτροπὴν ἐξαιτήσασθαι. ταύτην τὴν ἀνάγκην τε καὶ δυσχέρειαν θεραπεῦσαι ἐγνωκυῖα ἡ μετριότης ἡμῶν ἐν τῇ δυνάμει, δωρεᾷ τε καὶ χάριτι τοῦ παναγίου καὶ ζωοποιοῦ καὶ παντουργοῦ πνεύματος δίδωσι, χορηγεῖ καὶ δωρεῖται τῇ σεβασμίᾳ ταύτῃ μονῇ τὴν χάριν ταύτην τοῦ δύνασθαι τὸν κατὰ καιρὸν καθηγούμενον, νόμιμον μέντοι καὶ κανονικὸν καθιεροῦν ἐν πνεύματι ἁγίῳ τοὺς ἱεροὺς ναοὺς καὶ τὰς συμβὰν σαλευθείσας τραπέζας ἱερὰς ἀποκαθιστᾶν, ὅπου ἂν καὶ ὁσάκις δεήσει καθ' ὅλον τε τὸ ἱερὸν μοναστήριον καὶ τὴν φιλόθεον νῆσον Πάτμον ἐπιβεβαιουμένη καὶ ἐπευλογοῦσα καὶ ὅσους καὶ ὅσας ἂν μέχρι καὶ τήμερον ἀφιερώσας ἐνεκαίνισέ τε καὶ καθιέρωσε καὶ ἐνεθρόνισε ἡγούμενος πᾶς ὅστις ταύτης τῆς σεβασμίας μονῆς. ταύτην δὲ τὴν χρήσιμον τῇ ἐκκλησίᾳ καὶ ἀναγκαίαν δωρεὰν τῆς ἡμῶν μετριότητος ἀπὸ

τοῦ νῦν μένειν ἀκράδαντον καὶ ἀπαρασάλευτον καὶ ἀναπόσπαστον τῇ σεβασμίᾳ ταύτῃ μονῇ καὶ τοῖς κατὰ καιρὸν τὴν ἡγουμενίαν ταύτης ἐμπιστευθησομένους βουλόμεθα ἄχρις αἰῶνος· ἐπὶ γὰρ τούτῳ καὶ τὸ παρὸν εὐεργετικὸν σιγίλλιον ὧδε σφραγίσαντες ἐξεπράξαμεν. κ΄ ἰουλίου ,ζρς΄. †

† Μελέτιος, ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης μεγάλης πόλεως Ἀλεξανδρείας. †

*Archet. cum bulla plumbea. Flor. II. nro 42.*

## CXXVIII. 7114—1606, mense maio, ind. IV.

*Patriarcha Raphaël II. declarat, ecclesiam Sancti Nicolai in vico Tzancle, dioecesis Ephesi, esse patriarchalem et subiectam monasterio Sancti Ioannis.*

† Ῥαφαήλ, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ἐπειδὴ ὁ ἀπὸ τῆς θείας καὶ ἱερᾶς καὶ βασιλικῆς μονῆς τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ, ἐπιστηθίου φίλου, παρθένου, ἠγαπημένου Ἰωάννου τοῦ Θεολόγου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ, ὁ ὁσιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι, κῦρ Νεόφυτος, ἀφίκετο πρὸς τὴν ἡμῶν μετριότητα θείῳ ζήλῳ κινηθεὶς καὶ ἐζήτησε προθύμως τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τοῦ εἶναι ἀπὸ τοῦ νῦν προσηλωμένον αὐτῇ καὶ ὀνομάζεσθαι ἀεὶ πατριαρχικὸν αὐτῆς σταυροπήγιον [τὸ μονήδριον], ὅπερ αὐτὸς πλείστοις μόχθοις καὶ οὐκ ὀλίγαις δαπάναις ἀδείᾳ ἡμετέρᾳ πατριαρχικῇ ἀνήγειρεν ἐκ θεμελίων αὐτῶν καὶ ἀνέκτισε καὶ ἀνεκαίνισεν, ὅπερ ἐστὶν ἔνδον τῆς ἐπαρχίας Ἐφέσου ἐν χώρᾳ λεγομένῃ Τζαγκλῇ, ἐπ' ὀνόματι τιμώμενον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου Μύρων Λυκίας, τοῦ θαυματουργοῦ Νικολάου, καὶ πληροῦν κατ' ἔτος τῇ καθ' ἡμᾶς μεγάλῃ τοῦ Χριστοῦ ἐκκλησίᾳ χρυσοῦν φλωρίον ἕν, τούτου χάριν ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτοῦ ὡς εὔλογον ἀποδεξαμένη γράφει καὶ ἀποφαίνεται ἐν ἁγίῳ πνεύματι καὶ διορίζεται, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εἴη καὶ ὀνομάζηται πατριαρχικὸν σταυροπήγιον ὁ ῥηθεὶς θεῖος ναὸς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου τοῦ θαυματουργοῦ καὶ ἐν αὐτῷ τὸ ἡμέτερον, ὡς εἰκός, μνημονεύεσθαι πατριαρχικὸν ὄνομα παρρησίᾳ καὶ διοικῆται καὶ κυβερνᾶται ὑπὸ τῶν ἐνασκουμένων τῇ θείᾳ καὶ βασιλικῇ μονῇ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου καὶ παρ' αὐτῶν ἀποστέλληται ἐφημέριος ψάλλειν καὶ ἱερουργεῖν ἐν αὐτῷ καὶ καρποῦσθαι τὰ ἐξ αὐτοῦ εἰσοδήματα καὶ δικαιώματα. ὃς δ' ἂν τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. ΙΩΑΝΝΙΝΑ 2006

ἁπάντων ἐναντίος φανῇ περὶ τούτου καὶ σκάνδαλόν τι προξενήσῃ καὶ ταραχήν, τῶν ἱερωμένων μὲν ὢν ὁ τοιοῦτος ᾖ καὶ ὁ κατὰ καιροὺς ἀρχιερεὺς Ἐφέσου, ἀργὸς ἔστω πάσης ἀρχιερατικῆς καὶ ἱερατικῆς ἐνεργείας καὶ τάξεως, τῶν λαϊκῶν δέ, ἀφωρισμένος ἀπὸ θεοῦ παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ ἔξω τῆς τῶν χριστιανῶν ἐκκλησίας καὶ ὁμηγύρεως ὡς ἀπειθὴς καὶ ἀνυπότακτος· εἰς γὰρ τὴν περὶ τούτου δήλωσιν καὶ ἀμεταβλησίαν εἰς αἰῶνα τὸν ἅπαντα ἐγράφη καὶ τὸ παρὸν σιγίλλιον τῆς ἡμῶν μετριότητος καὶ ἐπεδόθη τῇ διαληφθείσῃ θείᾳ μονῇ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου, ἀρχιεπισκόπου Μύρων Λυκίας, τοῦ θαυματουργοῦ, τοῦ ἐν τῇ χώρᾳ Τζαγκλῇ τῆς ἐπαρχίας Ἐφέσου καὶ δι' αὐτῆς τῇ ἱερᾷ καὶ βασιλικῇ θείᾳ μονῇ τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ. ἐν ἔτει ,ζριδ', μαΐῳ, ἰνδικτιῶνος δ'. †

† Ῥαφαήλ, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

*Archetyp. membr. cum bulla plumbea. Flor. II. nro 46.*

## CXXIX. 7132—1624, mense aprili, ind. VII.

*Patriarcha Cyrillus I. Lucaris confirmat, monasteriolum Sanctae Mariae Exochorianae in insula Paro esse metochium monasterii Sancti Ioannis in Patmo.*

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Τὰ κατὰ θεῖον σκοπὸν γινόμενα πάντα καλὰ λίαν ἐστὶ καὶ πρὸς θεὸν εὐπρόσδεκτα καὶ μᾶλλον ὅτε τις αὐτὰ ὅτε δεῖ καὶ ὅπου δεῖ ἐναποθησαυρίσειε κρίσιν ἐν καλοῖς ποιούμενος καὶ τὰ καλὰ τοῖς καλλίστοις ἀνατιθέμενος φανερὸν πάντως καὶ πρόδηλον ὡς κατορθουμένων ἔργων ἀειμνήστων καὶ μακαρίων ὡς λυσιτελούντων πᾶσι κοινῶς. ἐπειδὴ τοίνυν καὶ ὁ κατὰ τὴν πολιτείαν Κεφάλου τῆς νήσου Πάρου εὑρισκόμενοι κληρικοί τε καὶ ἱερεῖς, ἄρχοντες καὶ οἱ λοιποὶ ἔχοντες ἐκεῖ θείαν μονὴν ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεραγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς ἐπικεκλημένης Ἐξωχωριανῆς ἀνακτισθεῖσαν ἐκ βάθρων ἐπὶ πατριαρχικῷ καὶ σταυροπηγίῳ παρά τινων εὐλαβεστάτων μοναχῶν ἀπέστειλαν πρὸς ἡμᾶς ἀναφορὰν ἐνυπόγραφον ἀξιοῦντες μεγάλως καὶ αἰτοῦντες προσηλωθῆναι αὐτὴν τῷ θείῳ καὶ σεβασμίῳ βασιλικῷ καὶ πατριαρχικῷ μοναστηρίῳ τοῦ ἁγίου, ἐνδόξου, πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ ἐπὶ πλείονι ἀσφαλείᾳ καὶ στερεώσει αὐτῆς, τούτου



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ. Δ/της Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

χάριν καὶ ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτῶν μὴ παριδοῦσα ἅτε εὔλογον οὖσαν καὶ φίλην Θεῷ γράφει καὶ ἀποφαίνεται διὰ τοῦ παρόντος σιγιλλιώδους γράμματος, γνώμῃ συνοδικῇ τῶν παρευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ τῶν τιμιωτάτων καὶ λογιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, τῶν καὶ γνώμας ἀρχιερατικὰς ἐχόντων, τῶν κατὰ πνεῦμα υἱῶν ἀγαπητῶν αὐτῆς, εἶναι μὲν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τὴν ῥηθεῖσαν μονὴν τῆς Παναγίας Ἐξωχωριανῆς τὴν ἐν τῷ Κεφάλῳ τῆς νήσου Πάρου εὑρισκομένην προσηλωμένην τῷ σεβασμίῳ αὐτῷ μοναστηρίῳ τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ καὶ ὑποκειμένην αὐτῷ ἀναφαιρέτως καὶ ἀναποσπάστως, τοὺς δὲ ἐνασκουμένους τῷ σταυροπηγιακῷ αὐτῷ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἔχειν τὴν ἐπίσκεψιν καὶ φροντίδα τοῦ αὐτοῦ σταυροπηγιακοῦ μονηδρίου τῆς Παναγίας Ἐξωχωριανῆς καὶ πέμπειν ἐκεῖσε ἕνα τῶν ἱερομονάχων ψάλλοντα ἐν αὐτῷ καὶ ἱερουργοῦντα καὶ τοῦ πατριαρχικοῦ ὀνόματος μνημονεύοντα καὶ καλλιεργοῦντα αὐτὸ καὶ τῶν πρὸς σύστασιν καὶ βελτίωσιν αὐτοῦ κατὰ πάντα φροντίζοντα ἐπιμελῶς καὶ ἀόκνως. ὃς δ' ἂν ὀφθῇ ποτε ἐναντιούμενος τῇ παρούσῃ ἀποφάσει ἀνατρέψαι θελήσῃ τὴν καλὴν ταύτην ἀφιέρωσιν ἐπὶ ἰδίῳ μὲν συμφέροντι, ζημίᾳ δὲ καὶ βλάβῃ τοῦ μονηδρίου αὐτοῦ τῆς Παναγίας Ἐξωχωριανῆς ἤ τι τῶν ἀφιερωμένων αὐτῷ ἰδιοποιήσασθαι καὶ κατεπεμβῆναι αὐτοῦ καὶ σκάνδαλόν τι προξενῆσαι αὐτῷ ἢ ζημίαν τινά, ὁ τοιοῦτος τοῦ ἱεροῦ καταλόγου ὢν ἀργὸς ἔστω πάσης ἀρχιερατικῆς καὶ ἱερατικῆς ἐνεργείας καὶ τάξεως καὶ ἀφωρισμένος καὶ ἀσυγχώρητος ὡς καθαιρέσεως ὑπόδικος ὡς τὰ καλῶς γεγονότα ἀνατρέπων, τῶν λαϊκῶν δὲ ἢ καὶ τῶν μοναχῶν, ἀφωρισμένος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ ἔξω τῆς τῶν χριστιανῶν ἐκκλησίας καὶ ὁμηγύρεως. οὕτως ἀπεφηνάμεθα ἐν ἁγίῳ πνεύματι συνοδικῶς· ἐπὶ γὰρ τῇ τούτου βεβαιώσει καὶ διηνεκεῖ ἀσφαλείᾳ ἐγένετο καὶ τὸ παρὸν πατριαρχικὸν σιγιλλιῶδες γράμμα καὶ ἐπεδόθη τῷ δηλωθέντι μοναστηρίῳ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου καὶ δι' αὐτοῦ τοῖς ἐν αὐτῷ ἀσκουμένοις πατράσιν ἐν ἔτει ζρλβ', μηνὶ ἀπριλλίῳ, ἰνδικτιῶνος ζ. †

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁ Παροναξίας Ἱερεμίας. †
† Ὁ Προικοννήσου Ἰγνάτιος. †
† Ὁ Ῥαιδεστοῦ Μελχισεδέκ. †
† Ὁ Προύσης Ἄνθιμος. †
† Ὁ Λακεδαιμονίας Ἰωάσαφ. †
† Ὁ Μεθώμνης Ἱερόθεος. †

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

*Archetyp. membr. cum bulla plumbea. Flor. II. nro 48. Exemplar nro 49, in quo deest subscriptio metropolitae Prusae.*

## CXXX. 7132—1624, mense iunio, ind. VII.

*Patriarcha Cyrillus I. Lucaris confirmat privilegia, possessiones libertatem monasterii.*

† **Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.** †

† Ἡ τοῦ καλοῦ προσθήκη τὸ καλὸν κάλλιον ἀπεργάζεται καὶ τὸ βεβαίως ἔχον βεβαιότερον κατορθοῖ. πρὸς τί δὲ ἡμῖν τοῦτο εἴρηται τὸ προοίμιον, ὁ λόγος σὺν θεῷ προϊὼν γε δηλώσει. ἐπειδὴ τοίνυν οἱ ἐνασκούμενοι τῇ θείᾳ καὶ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου, φίλου, παρθένου, ἠγαπημένου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τῇ ἐν τῇ νήσῳ Πάτμῳ ἔπεμψαν ἡμῖν ἴσον γράμματος συνοδικοῦ τοῦ μακαρίτου πατριάρχου, κῦρ Μελετίου, τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, ἐπιτηρητοῦ ὄντος τοῦ οἰκουμενικοῦ θρόνου Κωνσταντινουπόλεως, δι᾿ οὗ φαίνεται καὶ μαρτυρεῖται διαρρήδην, ὡς ἡ αὐτὴ θεία μονὴ ἀνεγερθεῖσα καὶ ἀνοικοδομηθεῖσα ἀδείᾳ καὶ θελήματι τῶν πάλαι αὐτοκρατόρων καὶ ἀοιδίμων βασιλέων ἐκείνων τῶν πρὸς τὰ θεῖα σέβας παρὰ τοὺς ἄλλους ἐχόντων ὑπὸ τοῦ εὐλαβεστάτου μοναχοῦ Χριστοδούλου, ἅτε τὴν νῆσον πρότερον ἔρημον οὖσαν καὶ ἀοίκητον, διὰ χρυσοβούλλου κῦρ Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ τῶν κατὰ τοὺς καιροὺς ἐκείνους μέχρι καὶ τοῦ νῦν ἀρχιερατευσάντων μακαρίων πατριαρχῶν εἴληφε τὴν ἐξουσίαν εἶναι βασιλικὴν καὶ πατριαρχικὴν καὶ σταυροπηγιακήν, ἀτελῆ τε καὶ ἀσύδοτον καὶ ἀδούλωτον καὶ κατὰ πάντα ἀνενόχλητον ἅμα τῇ νήσῳ πάσῃ διαμένουσαν ἀεὶ αὐτοδέσποτον καὶ αὐτεξούσιον, καθ᾿ ἑαυτὴν ἀγομένην καὶ διευθυνομένην, καθὰ λεπτομερῶς διέξεισι τὸ ἴσον τοῦ γράμματος αὐτοῦ, τὸν δέ γε πνευματικῶς τῶν ἐν αὐτῇ ἐνασκουμένων μοναχῶν προϊστάμενον μηδενὶ προσώπῳ ἐκκλησιαστικῷ ἢ κοσμικῷ ὑποκείμενον πώποτε, τὴν πατριαρχικὴν δὲ μόνην μεγαλειότητα κεφαλὴν ἐπιγινώσκειν, διεξάγειν δὲ αὐτὸν δηλαδὴ τὸν ἡγούμενον πνευματικῶς τοὺς ἐν αὐτῇ τῇ νήσῳ οἰκοῦντας πάντας καὶ πάντας τοὺς τοῖς [τῆς] μονῆς κτήμασι καὶ πράγμασι προσκαθημένους καὶ τούτων ἔχειν τὴν πνευματικὴν ἀνάκρισιν καὶ διοίκησιν καὶ ποιμαίνειν αὐτοὺς ἐκκλησιαστικῶς κατὰ τὴν ἐνοῦσαν αὐτῷ δύναμιν, ἐξεῖναι δὲ τοῖς μοναχοῖς ἀκωλύτως παρ᾿ οὗ ἂν βούλωνται τὰς ἱερῶν πατέρων χειροτονίας καὶ καθ᾿ ἑαυτοὺς ἐνεργεῖν τὴν τοῦ σφῶν ἡγουμένου προχείρισιν, ἀποκλείειν δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΟΣ
Ε. Γ. Δ. της Κ. τ. Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν εἴσοδον πᾶσι τοῖς ἀρχιερεῦσι τοῖς ὑφ' αὐτοὺς ἄγειν τὴν μονὴν ἐπιχειροῦσι καὶ τὸν κατὰ θεὸν ἀμέμπτως πολιτεύεσθαι βίον καὶ ζῆν ἐν αὐτῇ ἡσυχιαστικῶς, ἀνεπηρεάστως τε καὶ ἀσκανδαλίστως παρὰ τῶν κατὰ καιροὺς ταῖς φιλοδοξίαις ἐπιμαινομένων, οὐ μὴν δέ, ἀλλὰ καὶ τοῖς κατὰ καιροὺς πατριάρχαις μηδέν τι προσεῖναι ἐπὶ τῇ μονῇ ταύτῃ, οἷον δ' ὁτιοῦν ἄλλο δίκαιον συγχωροῦν, ἀλλ' ἢ μόνον τὴν ἀναφορὰν τοῦ οἰκείου ὀνόματος ἐν ταῖς θείαις ἱερουργίαις καὶ λοιπαῖς ἐκκλησιαστικαῖς ἀκολουθίαις καὶ τὸ ἐτησίως ἐπικρατῆσαν δίδοσθαι τῇ καθ' ἡμᾶς μεγάλῃ ἐκκλησίᾳ ὑποταγῆς ἕνεκα καὶ κατὰ πάντα μένειν αὐτὴν δηλονότι ἐλευθέραν καὶ τὰ αὐτῆς πάντα προνόμια ἀλώβητα καὶ ἀπαρεγχείρητα εἰς τὸ μετέπειτα, καὶ ἐδεήθησαν καὶ ἠξίωσαν ἡμᾶς οὐ μικρῶς τυχεῖν καὶ ἡμετέρου γράμματος ἐπικυροῦντος τὰ ἄνω ῥηθέντα ἐπὶ πλείονι δυνάμει καὶ διηνεκεῖ ἀσφαλείᾳ. τούτου χάριν καὶ ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτῶν μὴ παριδοῦσα, ἅτε δικαίαν οὖσαν καὶ εὔλογον, ἀλλὰ συνήθως καὶ αὐτοῖς ἐπινεύσασα ἑπομένως γράφει καὶ ἀποφαίνεται μετὰ καὶ τῆς περὶ αὐτὴν ὑπερτελεστάτης συνόδου τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ τῶν τιμιωτάτων καὶ λογιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας τῶν γνώμας ἀρχιερατικὰς ἐχόντων καὶ κατὰ πνεῦμα υἱῶν ἀγαπητῶν αὐτῆς, τὸ παρὸν ἐπιβραβεύουσα αὐτοῖς σιγιλλιῶδες ἐπιβεβαιωτικὸν γράμμα, δι' οὗ καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, ἵνα τῶν παλαιῶν ἐκείνων χρυσοβούλλων τῶν εὐσεβεστάτων καὶ μακαρίων βασιλέων καὶ τῶν λοιπῶν γραμμάτων τῶν ἀειμνήστων πατριαρχῶν τῶν τὰ προνόμια καὶ τὰς ἐλευθερίας τῇ ῥηθείσῃ μονῇ δωρησάντων μενόντων κεκυρωμένων, ἀπαρεγχειρήτων τε καὶ ἀμεταπτώτων καὶ εἰς αἰῶνα τὸν ἅπαντα, ἕως οὗ ὁ ἥλιος ἐφορᾷ, ἡ μὲν διαληφθεῖσα μονὴ τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἡ ἐν τῇ Πάτμῳ ἅμα τῇ νήσῳ πάσῃ καὶ τοῖς κατὰ πάντα τόπον εὑρισκομένοις μετοχίοις αὐτῆς καὶ μάλιστα τοῖς ἐν τῇ νήσῳ Πάρῳ καὶ ἐν Μήλῳ σὺν πᾶσι τοῖς ἀφιερωμένοις αὐτῇ ἢ καὶ ἀφιερωθησομένοις κτήμασι καὶ πράγμασι κινητοῖς τε καὶ ἀκινήτοις καὶ αὐτοκινήτοις καὶ λοιποῖς ἱεροῖς κειμηλίοις καὶ σκεύεσι καὶ βιβλίοις εἴη καὶ διαμένοι ὡς βασιλικὴ καὶ πατριαρχικὴ καὶ σταυροπηγιακὴ αὐτόνομος καὶ αὐτοδέσποτος, ἀνενόχλητος, ἀκαταπάτητος, ἀσύδοτος καὶ ὅλως ἀκαταζήτητος παρὰ παντὸς προσώπου ἐκκλησιαστικοῦ καὶ λαϊκοῦ μηδενὶ μηδὲν χρεωστοῦσα ἀποτίνειν, εἰ μὴ τὸ ἐπικρατῆσαν ἐτησίως τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ, οἱ ἐνασκούμενοι δ' αὐτῇ μνημονεύοντες τοῦ πατριαρχικοῦ ὀνόματος καὶ ἡσυχαστικῶς καὶ εἰρηνικῶς διάγοντες τὸν κατὰ θεὸν βίον ἔχωσιν ἄδειαν ἐκλέγειν ἐκ μέσου αὐτῶν καὶ ἀποκαθιστᾶν τὸν ἡγούμενον αὐτῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Α. της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

καὶ παρ' οὗ ἂν ἐθέλωσιν ἀρχιερέως ἐκτελεῖν τὰς τυχούσας χειροτονίας αὐτῆς, πλὴν τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καὶ ὑποτάσσεσθαι καὶ ὑπακούειν τοῦ ἡγουμένου αὐτῶν καὶ κατ' οὐδὲν αὐτῷ ἐναντιοῦσθαι ἔχοντι καὶ αὐτῷ τὴν ἐπιμέλειαν καὶ φροντίδα καὶ ἐπίσκεψιν αὐτῶν τε καὶ τοῦ μοναστηρίου. ὃς δ' ἂν ὀψέ ποτε βουληθείη καθ' οἱονδήτινα τρόπον ἀνατρέψαι τὰς ἀποφάσεις τῶν παλαιγενῶν αὐτῶν γραμμάτων καὶ εἰς δουλείαν τινὰ καταγαγεῖν τὸ σταυροπηγιακὸν αὐτὸ μοναστήριον ἢ τοὺς ἐν αὐτῷ μονάζοντας ἱερωμένους καὶ ἰδιώτας ἐνοχλῆσαι ἢ ἐκ τῶν ἀφιερωμένων αὐτῷ καὶ τῶν ἐν τοῖς μετοχίοις αὐτοῦ ἁρπάσαι τι καὶ ἀποξενῶσαι ἢ ζητῆσαι πολὺ ἢ ὀλίγον νοσφίσασθαι ἢ ἄλλο τι ἐπιβλαβὲς καὶ ἐπιζήμιον διαπράξασθαι αὐτῷ, τοῦ ἱεροῦ καταλόγου μὲν ὢν ὁ τοιοῦτος ἀργὸς εἴη πάσης ἀρχιερατικῆς καὶ ἱερατικῆς ἐνεργείας καὶ τάξεως καὶ ἀφωρισμένος καὶ ἀσυγχώρητος ὡς τῇ τελείᾳ καθαιρέσει ὑπόδικος, τοῦ λαϊκοῦ δὲ ἢ καὶ μοναδικοῦ, ἀφωρισμένος καὶ κατηραμένος καὶ ἀσυγχώρητος ἀπὸ θεοῦ παντοκράτορος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ ἔχοι καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων καὶ εὕροι θεὸν μαχόμενον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. οὕτως ἀπεφηνάμεθα ἐν ἁγίῳ πνεύματι συνοδικῶς. ἐπὶ γὰρ τούτῳ ἐγένετο καὶ τὸ παρὸν ἡμῶν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐπιβεβαιωτήριον γράμμα καὶ ἐδόθη τοῖς πατράσι τοῦ σταυροπηγιακοῦ μοναστηρίου τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ καὶ δι' αὐτῶν τῇ αὐτῇ πατριαρχικῇ καὶ βασιλικῇ μονῇ αὐτῶν εἰς πλείονα τὴν διαμονὴν καὶ διηνεκῆ τὴν ἀσφάλειαν. ἐν ἔτει ,ζρλβ', μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ζ'. †

**† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †**

**† Ὁ Καισαρείας Καππαδοκίας Γρηγόριος †**

**† Ὁ Ἀδριανουπόλεως Παρθένιος. †**

**† Ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριήλ. †**

**† Ὁ Προικονήσου Κλήμης. †**

**† Ὁ Μεσημβρίας Ἀκάκιος. †**

**† Ὁ Εὐρίπου Ζαχαρίας. †**

**† Ὁ Αἴνου Παρθένιος. †**

**† Ὁ Ἡρακλείας Νεόφυτος. †**

**† Ὁ Κυζίκου Παρθένιος. †**

**† Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης. †**

**† Ὁ μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλησίας. †**

**† Ὁ μέγας λογοθέτης τῆς μεγάλης ἐκκλησίας ἔχων τὴν γνώμην τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων. †**

† Ὁ Βάρνης Παρθένιος. †
† Ὁ πρώην Αἴνου Δανιήλ. †
† Ὁ πρώην Παροναξίας Ἀθανάσιος. †
† Ὁ Ναυπλίου καὶ Ἄργους Θεοφάνης. †
† Ὁ Μεθύμνης Κορνήλιος. †
† Ὁ ἀρχιεπίσκοπος Ζίας καὶ Θερμίων. †
† Ὁ Σηλυμβρίας Δανιήλ. †
† Ὁ Ἀγαθουπόλεως . . . †
† Ὁ Πρεσπῶν Ζαχαρίας. †

† Ὁ μέγας πριμικήριος τῆς μεγάλης ἐκκλησίας ἔχων τὴν γνώμην τοῦ μακαριωτάτου πατριάρχου Ἀντιοχείας. †
† Ὁ Γάνου καὶ Χώρας Ἰωακείμ. †
† Ὁ μέγας ῥήτωρ τῆς μεγάλης ἐκκλησίας ἔχων τὰς γνώμας τῶν πανιερωτάτων ἀρχιερέων τῆς τοῦ Ἐφέσου, τοῦ Τουρνούβου, τοῦ Μυτιλήνης καὶ τοῦ Λίμνου. †
† Ὁ δικαιοφύλαξ ἔχων καὶ τὴν γνώμην τοῦ Θηβῶν. †
† Ὁ πριμικήριος τῆς μεγάλης ἐκκλησίας Δράκος. †
† Ὁ Χίου Ἰγνάτιος. †

*Archetyp. membr. Flor II. nro 47.*

## CXXXI. 7135—1626, mense novembri, ind. X.

*Patriarcha Cyrillus I. Lucaris declarat, ecclesiam Sancti Panteleemonis eparchiae Ceae et Thermiorum esse patriarchalem.*

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Τὰ κατὰ θεῖον σκοπὸν γινόμενα πάντα καλὰ λίαν ἐστὶ καὶ πρὸς θεὸν εὐπρόσδεκτα καὶ μᾶλλον αἱ τῶν σεβασμίων καὶ ἱερῶν ναῶν ἀνακτίσεις καὶ ἀνοικοδομαί, ὁπόταν θείῳ ζήλῳ τινὲς ὁδηγούμενοι ἀποκαθιστῶσιν αὐτοὺς πρός τε ψυχικὴν αὐτῶν σωτηρίαν καὶ κοινὴν τῶν χριστιανῶν ὠφέλειαν καὶ [ἕνεκα] διηνεκοῦς μνημοσύνου τῶν κτητόρων αὐτῶν· καὶ γὰρ οὐδὲν τούτου μακαριώτερον κριθείη καὶ ἀξιεπαίνετον, ὥς γε καὶ Δαβὶδ ὁ θεοπάτωρ ἐπιβεβαιοῖ λέγων· «κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου». ἐπειδὴ τοίνυν καὶ ὁ ἀπὸ Δυμόκου ὁρμώμενος ὁσιώτατος ἐν μοναχοῖς κὺρ Φιλόθεος καὶ σύγκελλος τῆς ἀρχιεπισκοπῆς Ντζίας καὶ Θερμίων ἐξ ἁπαλῶν ὀνύχων τὸ ἀγγελικὸν

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΙΣ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Δ. ΑΠΣΚ Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σχῆμα ἐπενδυθεὶς καὶ χρόνους ἱκανοὺς διατρίψας ἐν αὐτῇ τῇ ἐπαρχίᾳ Ναξίας, νήσῳ οὔσῃ, εὗρεν ἔνδον τῆς αὐτῆς νήσου κατὰ τὸ ὄρος τοῦ καλουμένου Ἑλληνικοῦ ναὸν κτισθέντα παρὰ τοῦ πάλαι μητροπολίτου Εὐρίπου, κυροῦ Τιμοθέου, ἐπ' ὀνόματι τιμώμενον τοῦ ἁγίου ἐνδόξου καὶ ἰαματικοῦ Παντελεήμονος σεσαθρωμένον καὶ [πε]παλαιωμένον, ὃν θείῳ ζήλῳ καὶ ἔρωτι τρωθεὶς ἰδίοις ἀναλώμασι βούλεται ἀνακτίσαι καὶ ἀνοικοδομῆσαι καὶ μονήδριον ἀποκαταστῆσαι παντοίοις ἀναθήμασι καὶ ἱεροῖς σκεύεσι καὶ λοιποῖς κτήμασι ἐπὶ μνημοσύνῳ τοῦ τε κτήτορος ἐκείνου, καὶ τούτου [χάριν], καὶ προσέδραμε τῇ ἡμῶν μετριότητι μετὰ καὶ ἐνυπογράφου ἀναφορᾶς τῶν κατὰ τόπον χριστιανῶν, ἱερέων δηλαδὴ καὶ λαϊκῶν, δεομένων ἐμπόνως καὶ ἱκετευόντων πάντων χορηγηθῆναι αὐτῷ τῷ μοναχῷ κὺρ Φιλοθέῳ γράμμα τοῦ εἶναι τὸ ἐντεῦθεν τὸν ναὸν αὐτὸν πατριαρχικόν, ὡς ἔθος τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ καὶ τῇ πατριαρχικῇ περιωπῇ καὶ μεγαλειότητι, τὸ μὴ μόνον [τὸ σύνηθες] λαμβάνειν ἐκ πασῶν τῶν ὑπ' αὐτὴν τελουσῶν μητροπόλεων καὶ ἐπισκοπῶν, ἀλλὰ καὶ [ἀνακαινίζειν] μοναστήρια, καὶ ἐκκλησίας ὡσαύτως καὶ κοσμεῖν αὐτὰ καὶ σεμνύνειν τῷ πατριαρχικῷ ὀνόματι καὶ πᾶσαν ἐλευθερίαν αὐτοῖς διδόναι τηρουμένων μόνον ἀκαταλύτων τῶν κανονικῶν δικαίων τοῦ κατὰ τόπον ἀρχιερέως, καὶ τοῦτο διηνεκῶς ᾔδει τις ἐνεργούμενον πανταχοῦ, καὶ μένειν αὐτὸν ἀνενόχλητον καὶ ἀκαταπάτητον εἰς τὸ ἑξῆς καὶ παντὸς πράγματος ἀνεπηρέαστον μετὰ τῶν ἐν αὐτῷ ἀφιερωμάτων ἢ καὶ ἀφιερωθησομένων κτημάτων τε καὶ πραγμάτων. τούτου χάριν ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτῶν ἀποδεξαμένη ἅτ' εὔλογον καὶ φίλην θεῷ καὶ ὀφειλομένως ἔχουσα τοὺς ταῦτα ἀξιοῦντας σὺν πολλῇ τῇ παρακλήσει ἀπολύειν τὴν τούτου ἐλευθερίαν καὶ δεφένδευσιν γράφει καὶ ἀποφαίνεται ἐν ἁγίῳ πνεύματι, γνώμῃ κοινῇ συνοδικῇ τοῦ τε ἁγιωτάτου καὶ μακαριωτάτου πάπα καὶ πατριάρχου τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτοῦ τῆς οἰκουμένης, κυροῦ Γερασίμου, καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἀπὸ τοῦ νῦν ὁ μὲν εἰρημένος θεῖος καὶ σεβάσμιος ναὸς τοῦ ἁγίου ἐνδόξου καὶ ἰαματικοῦ Παντελεήμονος σὺν τῷ μετοχίῳ, τοῖς ὁρίοις αὐτοῦ, [τῇ] ἐκκλησίᾳ τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου τῇ κατὰ τὴν θέσιν τῆς Βίγλας τοῦ Πηγαδίου καὶ τῶν λοιπῶν ἀφιερωμάτων καὶ ἀφιερωθησομένων εἴη καὶ ὀνομάζοιτο πατριαρχικός, ἐλεύθερος, ἀκαταπάτητος, ἀσύλητος καὶ ὅλως ἀνεπηρέαστος παρὰ παντὸς προσώπου, μηδενὶ μηδὲν ὀφείλων διδόναι, εἰ μὴ μόνον τῷ μὲν κατὰ τόπον ἀρχιερεῖ τὸ σύνηθες κανονικὸν μνημόσυνον, τῇ καθ' ἡμᾶς δὲ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ ὑποταγῆς ἕνεκα μέλι λίτρας δέκα πέντε, μὴ τολμῶντος ὅλως οὔτε τοῦ νῦν θεοφιλεστάτου ἀρχιεπισκόπου Ναξίας

καὶ Θερμίων, κυροῦ Νεκταρίου, οὔτε τοῦ μετ᾿ αὐτὸν καὶ ἄλλου ἄδειαν ἔχειν καὶ ἐξουσίαν ἢ μετοχήν τινα ἐν αὐτῷ τῷ θείῳ ναῷ καὶ ἀργεῖν τοὺς ἐνασκουμένους αὐτῷ καὶ ἀφορίζειν καὶ ζητεῖν τι παρ᾿ αὐτῶν καὶ κατεπεμβαίνειν καὶ ἀνακρίνειν καὶ ἐξετάζειν αὐτούς, εἴτε καὶ περὶ τὰ πνευματικά, εἴτε καὶ περὶ τὰ σωματικά, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀφορισμοῦ ἀλύτου τοῦ ἀπὸ θεοῦ παντοκράτορος. οἱ δὲ πατέρες αὐτοῦ διάγωσιν ἀδελφικῶς καὶ ἡσύχως, ἔχοντες τὰ πάντα κοινά, βρώματά τε καὶ πόματα, σκεπάσματά τε καὶ ὑποδήματα, ἔχοντες καὶ γνώμην φιλάδελφον καὶ κατὰ θεὸν φροντίζειν ἑκάστου τὸ συμφέρον ὡς μία ψυχὴ ἐν πολλοῖς σώμασιν οἰκοῦσα, εἴ γε ὄφελος εὑρεῖν ἐν τοῖς κοινοβιακοῖς ἐθέλουσιν ἀσκήσεσι, μηδενὸς αὐτοῖς ἐναντιουμένου τὸ παράπαν. ὅστις δὲ ἢ τῶν πατέρων τοῦ αὐτοῦ ναοῦ ἢ ἕτερος τῆς νήσου ταύτης Ντζίας καὶ Θερμίων θελήσειε καθ᾿ οἱονδήτινα τρόπον προξενῆσαι σκάνδαλόν τι ἢ ζημίαν τινὰ τῷ ἀνακτίζοντι καὶ καλλωπίζοντι τὸν ναὸν αὐτόν, [τῷ] διαληφθέντι ὁσιωτάτῳ ἐν μοναχοῖς κυρῷ Φιλοθέῳ τῷ συγκέλλῳ καὶ ἁρπάσαι τι τῶν ἀφιερωμάτων αὐτοῦ ἢ καὶ ἐμποδίσαι καὶ κωλῦσαι ἀφιερώσασθαί τι ἐν αὐτῷ τῷ ναῷ, τῶν ἱερωμένων μὲν ὢν ὁ τοιοῦτος ἀργὸς μενέτω πάσης ἱεροπραξίας, καταφρονῶν δὲ τῆς ἀργίας καὶ ἀφωρισμένος ἀπὸ θεοῦ, ὡς ἄξιος τελείας καθαιρέσεως, τῶν λαϊκῶν δὲ ἢ καὶ τῶν μοναχῶν, ἀφωρισμένος ἔστω ἀπὸ θεοῦ παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, ἐχέτω δὲ καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν πασῶν ἁγίων συνόδων, κληρονομήσει δὲ τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα· ἐπὶ γὰρ τούτῳ ἐγένετο καὶ τὸ παρὸν τῆς ἡμῶν μετριότητος σιγιλλιῶδες γράμμα καὶ ἐπεδόθη εἰς πλείονα καὶ διηνεκῆ τὴν ἀσφάλειαν τῷ διαληφθέντι ὁσιωτάτῳ ἐν μοναχοῖς κυρῷ Φιλοθέῳ καὶ συγκέλλῳ τῆς ἀρχιεπισκοπῆς Ντζίας καὶ Θερμίων καὶ δι᾿ αὐτοῦ τῷ σεβασμίῳ καὶ θείῳ ναῷ τοῦ ἁγίου ἐνδόξου καὶ ἰαματικοῦ Παντελεήμονος, ἐν ἔτει ,αχκς΄, μηνὶ νοεμβρίῳ, ἰνδικτιῶνος ς΄. †

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Γεράσιμος, ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας. †

| | |
|---|---|
| † Ὁ Ἡρακλείας Νεόφυτος. † | † Ὁ Τορνόβου . . . |
| † Ὁ Σηλυβρίας [Δανιήλ]. † | † Ὁ . . . . . . |
| † Ὁ Γάνου καὶ Χώρας Ἰωαννίκιος. † | † Ὁ Ἀμασείας Ζαχαρίας. † |

† Ὁ Ραιδεστοῦ καὶ . . . . Μελχισεδέκ. †
† Ὁ Πάρου Παρθένιος. †
† Ὁ . . . . . . †
† Ὁ . . . . . . Γρηγόριος. †
† Ὁ Ἄνδρου Μακάριος. †

*Archetyp. membr. cum bulla plumbea. Flor. II. nro 50. Error in indict.*

## CXXXII. [7155—1647], mense februario, ind. XV.

*Patriarcha Ioannicius II. confirmat donationem olivarum, quam Ignatius Contoleon fecit ecclesiae S. Mariae Salvatricis in Patmo, et excommunicat Antonium Cucubium et eius amitam.*

† Ἰωαννίκιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ἱερώτατε μητροπολῖτα Ῥόδου, ὑπέρτιμε καὶ ἔξαρχε τῶν Κυκλάδων νήσων ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, καὶ εὐλαβέστατοι ἱερεῖς καὶ ἄρχοντες χρήσιμοι οἱ εἰς τὴν Κάλυμνον, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ. ἐπειδή, ὡς ἀνέγνωμεν ἴσον ὁμολογίας τοῦ αὐτόθι παπᾶ Ἀντωνίου, υἱοῦ Μιχαήλου Γεωργίου Κουκουβίου ἐπιστώθημεν, ὅτι χρεωστῶν τῷ ἀπὸ Πάτμου Ἰγνατίῳ Κοντολέοντι ἄσπρα χιλιάδας πέντε καὶ τριακόσιαι δέκα ἐννέα καὶ μὴ ἔχων ταῦτα πληρῶσαι ἔδωκεν αὐτῷ εἰς πληρωμὴν τῶν ἄσπρων αὐτοῦ, εἰδήσει καὶ θελήσει καὶ προαιρέσει καὶ τῆς θείας αὐτοῦ, δένδρα ἐλαιῶν τεσσαράκοντα, ποιήσας αὐτὸν κύριον τῶν δένδρων αὐτῶν παρόντων ἀξιοπίστων χριστιανῶν, ἃς ἀφιερώσατο ὁ Ἰγνάτιος αὐτὸς ἐν τῷ ναῷ τῆς ὑπεραγίας μου Θεοτόκου τῆς Διασωζούσης. ἔπειτα μετ' ὀλίγον ἐπαναστὰς ὁ παπᾶ Ἀντώνιος αὐτὸς καὶ ἀγωγὴν ποιήσας περὶ τῆς ὑποθέσεως ταύτης καὶ δικαιολογούμενος ἔθετο αἱρετοὺς κριτὰς θεωρῆσαι τὴν ὑπόθεσιν ταύτην, τῶν δὲ δίκαιον αὐτὸν ἀποφηναμένων μηδὲν ὅλως κεκτῆσθαι ὡς πώλησιν τελείαν ποιήσαντα τὰ δένδρη ἐκεῖνα, παρακλήσει τινῶν φίλων, μᾶλλον δὲ τοῦ Καισαρείας δέδωκεν αὐτῷ ὁ Ἰγνάτιος αὐτὸς ἄσπρα χιλιάδας δύο καὶ ἔλαβε πέρας ἡ ὑπόθεσις, δοὺς καὶ γράμμα ἐμμάρτυρον, ἵνα εἰς τὸ ἑξῆς καὶ ἀπὸ τοῦ νῦν εἴη ἀναπολόγητος ἐν παντὶ κριτηρίῳ. τὰ νῦν δὲ ἐπαναστὰς πάλιν ἐνοχλεῖ αὐτῷ καὶ σπεύδων ἀποσπάσαι τὰ ἀφιερωμένα ἀθετεῖ τὴν ὁμολογίαν αὐτοῦ, τούτου χάριν ἀποφαινόμεθα συνοδικῶς, ἵνα τῶν δένδρων ἐκείνων ὄντων καλῶς δεδομένων ἐν τῇ ἐκκλησίᾳ τῆς Παναγίας καὶ ἀφιερωμένων, ὁ μὲν παπᾶς Ἀντώνιος αὐτὸς εἴη ἀργὸς πάσης ἱεροπραξίας, καταφρονῶν δὲ τῆς ἀργίας ἀφωρισμένος ἀπὸ θεοῦ, ὡς ἄξιος καθαιρέσεως τελείας καὶ ἐστερη-

μένος παντὸς ἐκκλησιαστικοῦ καὶ ἐνοριακοῦ αὐτοῦ εἰσοδήματος, καὶ μηδεὶς ἔχῃ αὐτὸν ἐν ἱερέως τιμῇ καὶ τάξει ἢ ὅλως ὡς ἱερέα αὐτὸν τιμῆσαι ἐν ἀργίᾳ καὶ ἀφορισμῷ, ἡ δὲ θεία αὐτοῦ ἀφωρισμένη ἀπὸ θεοῦ καὶ κατηραμένη καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ ἔξω τῆς Χριστοῦ ἐκκλησίας, ἕως οὗ παυσάμενοι τοῦ ἐνοχλεῖν αὐτὸν τύχωσι συγχωρήσεως. πρὸς τούτοις ἐχέτω ἄδειαν ὁ Ἰγνάτιος αὐτὸς οἵῳ τρόπῳ εὐλόγῳ δυνηθῇ παιδεῦσαι αὐτὸν τῇ ἐκκλησίᾳ μὴ πειθόμενον παρ' οὐδενὸς ἐναντιούμενος. οὕτω γένοιτο ἐξ ἀποφάσεως, ἀλλὰ καὶ ὅσοι ἀπὸ τοῦ νῦν τολμήσουσιν [ἰδιοποιήσασθαί τι] ἐκ τῶν εἰσοδημάτων τῶν αὐτῶν ἀφιερωμένων δένδρων καὶ ἀδικήσουσι τὴν ἐκκλησίαν, ἀφωρισμένοι ἔστωσαν καὶ ἀσυγχώρητοι. †

† Μηνὶ φεβρουαρίῳ, ἰνδικτιῶνος ιε΄. †

† Ὁ Κυζίκου Παρθένιος. † † Ὁ Χαλκηδόνος Νεκτάριος. †
† Ὁ Γάνου καὶ Χώρας Ἰωαννίκιος. † † Ὁ Ἀδριανουπόλεως Παρθένιος. †
† Ὁ Βιζύης Χρύσανθος. †

*Archetyp. chart. Flor. II. nro 51, quod haec habet:* Ἔστι ὁ ναὸς τῆς Θεοτόκου (τῆς Διασωζούσης) ἐν Πάτμῳ.

## CXXXIII. 7181—1673, mense maio, ind. XI.

*Patriarcha Dionysius III. Muselimes confirmat libertatem, iura et privilegia monasterii.*

† Διονύσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Οἱ ἐξ αἰῶνος τὸν αἰῶνα κατὰ διαδοχὴν ἀμείβοντες ἄνθρωποι τὴν τῶν πραγμάτων ταχύποδα φορὰν καὶ ἀγχίστροφον κατοπτεύοντες, ὅπως ἀλληνάλλως ἀεὶ δηλαδὴ τὰ καθυποπίπτοντα ταύτῃ περιδινεῖσθαί φιλεῖ καὶ ἀμαυροῖ ταχέως τὰ πρὸ βραχέως τοῦ ζῆν ἀρξάμενα τὴν παντουργοῦ, ὡς ἐφικτόν, ἐμιμήσαντο θείαν πρόνοιαν, ἥτις τὰ ὄντα δημιουργεῖ καὶ δημιουργηθέντα κηδεμονίαις ἀρρήτοις ἐς διαμονὴν συντηρεῖ περισώζουσα, κἀντεῦθεν ὅσαπερ ὅπως ποτὲ κτήσασθαι δυνηθεῖεν προμηθείαις ὅλαις ἐπιμελοῦνται καὶ σκέψεσιν, ὅπως εἰς διαμονὴν ἐχυρώσωσι καὶ πολυζωΐαν κρατύνωσιν, ἵνα μὴ χρόνου ταχὺ παρανάλωμα γένηται ἢ καὶ ὑπό τινος ἀκορέστου γνώμης καὶ ἀγερώχου χειρὸς ἀπώληται. κατὰ ταὐτὰ τοιγάρτοι καὶ οἱ σεβάσμια μοναστήρια θεοφιλῶς ἀνεγείροντες εἰς δόξαν θεοῦ, μνημόσυνόν τε τῶν ὀρθοδόξων καὶ σωτηρίαν ψυχῆς τῶν ἐν αὐτοῖς εὐαρεστούντων θεῷ ὑπὸ μὲν τὴν